ζει. ἐξ ἄλλων δὲ καὶ ἄλλων Εὐριπίδου δραμάτων κόμματα τίθησι. καὶ οὐδὲν κατὰ τὸ ἑξῆς λέγει μέλος. ἔστι δὲ τὸ προεγκείμενον ἐξ Ἰφιγενείας τῆς ἐν Αὐλίδι. Τέγγουσαι νοτερῆς.] τὸ ἑξῆς. νοτίαις ῥανίσι πτερύγων χρόα δροσιζόμεναι.

Bisetus Ὑπωρόφιοι] ὑπὸ τὴν αὐτὴν οἰκίαν περιειλημμένοι, συγγενεῖς. Σ. ὑπωρόφιος δὲ ἐκ τοῦ ὑπὸ, καὶ ὄροφος, ἡ ὀροφή. διὸ καὶ κατά τινας διὰ τοῦ ο γρα-

A πλέον. εἰ μὴ λέγῃς ἐκ δυοῖν ο ο εἰς ω κατὰ κρᾶσιν γίνεσθαι. ἐν δὲ τῇ ἑτέρᾳ γραφῇ τὸ ἕτερον ο ἐκβληθήσεται ἐν τῇ συνθέσει, καὶ ὑπορόφιος γραφθήσεται.

Σχόλια. Εἰειειειει.] ἡ ἐπέκτασις τοῦ εἱλίσσετε κατὰ μίμησιν εἴρηται τῆς μελοποιΐας. Φάλαγγες] αἱ λεγόμεναι καματηραί. ἀράχνιόν τι ἡ φάλαγξ. λέγουσι δὲ τὰ ἄκρα τῶν δακτύλων φάλαγγας. ὅπερ νῦν μᾶλλον λέγει.

Ἰσότονα πηνίσματα, καὶ
Κερκίδος ἀοιδοῦ μελέτας,
Ἵν' ὁ φίλαυλος ἔπαλλε δελφὶς
Πρώραις κυανεμβόλοις
Μαντεῖα καὶ σταδίους,
Οἰνάνθας γάνος ἀμπέλου,
Βότρυος ἕλικα παυσίπονον
Περίβαλλ' ὦ τέκνον ὠλένας.
Ὁρᾷς τὸν πόδα τοῦτον; Δι. ὁρῶ.
Αἰ. Τί δαί; τοῦτον ὁρᾷς; Δι. ὁρῶ.
Αἰ. Τοιαυτὶ μέντοι σὺ ποιῶν,
Τολμᾷς τἀμὰ μέλη ψέγειν,
Ἀνὰ τὸ δωδεκαμήχανον
Κυρήνης μελοποιῶν;
Τὰ μὲν μέλη σου ταῦτα. βούλομαι δ' ἔτι
Τὸν τῶν μονῳδιῶν διεξελθεῖν τρόπον.
Ὦ νυκτὸς κελαινοφαὴς
Ὄρφνα, τίνα μοι δύστηνον
Ὄνειρον πέμπεις ἐξ ἀφανοῦς,
Ἀΐδα πρόσπολον,
Ψυχὰν ἄψυχον ἔχοντα,
Μελαίνας νυκτὸς παῖδα,
Φρικώδη δεινὰν ὄψιν.
Μελανονεκυείμονα,
Φόνια φόνια δερκόμενον,
Μεγάλους ὄνυχας ἔχοντα;
Ἀλλά μοι ἀμφίπολοι λύχνον ἅψατε,
Κάλπισί τ' ἐκ ποταμῶν δρόσον ἄρατε,
Θέρμετε δ' ὕδωρ,
Ὡς ἂν θεῖον ὄνειρον ἀποκλύσω.
Ἰὼ πόντιε δαῖμον,
Τοῦτ' ἐκεῖν'. ἰὼ ξύνοικοι,
Τάδε τέρατα θεάσασθε
Τὸν ἀλεκτρυόνα μου ξυναρπάσασα, φρούδη Γλύκη.

B *Liciæ, ætelásque, & cercidis*
*Rancidi Poëtæ cures:*
*Vbi cantu gaudens Delphinus*
*Proris quatiebat mare secantibus,*
*Oracula & stadia,*
*Gemmas, lætitiam vitis,*
*Racemi capreolum, onus leuantem.*
*Agè me amplectere, mi puer.*
*Pedem hunc túne vides?* BA. *video.*
C ÆS. *Quid hunc? annè vides?* BA. *video.*
ÆS. *Hos cùm modos tu succinas,*
*Audes meos reprehendere:*
*Qui per duodecim technas*
*Cyrenes modularis.*
*Et hi modi nempe tui. nunc etiam volo*
*Monœdiarum rationem perquirere.*
*O noctem nigram tenebris,*
D *Quàm tu miserum affers somnum*
*Mihi, hunc ex obscuris caliginibus*
*Erebi seruulum:*
*Inanime pectus habentem,*
*Nefariæ noctis prolem,*
*Atrocem vultu: amictum*
*Nigronecire dimiculis:*
*Trucia, trucia tuentem:*
*Magnos vngues habentem.*
E *Ferte facem celeres famulæ mihi:*
*Situla aquam è liquido date flumine:*
*Calfacite vndas.*
*Hæc vt somnia fontibus abluam,*
*Iò Pontice Diue*
*Hoc mihi illud: ô sodales,*
*Hæc prodigia, quæso, videte.*
*Rapuit mihi gallum Glyce, nec*
F *Vspiam apparet hîc.*

Σχόλια. Ἰσότονα.] τοὺς ἴσους οὓς ἐν τῷ ἀέρι οἱ ἀράχναι ὑφαίνουσι. λάμβανε δὲ ἀπὸ κοινοῦ εἰς τὰς μελέτας τὸ εἱλίσσετε· οὕτω καὶ εἱλίσσετε μελέτας κερκίδος ἀοιδοῦ. τουτέστιν ὥσπερ αἱ ὑφάντριαι διὰ τῶν κερκίδων γυναῖκες ἐν τῷ ὑφαίνειν ᾄδουσιν, οὕτω καὶ ὑμεῖς ὦ ἀράχναι. πηνίσματα δὲ ὑφάσματα. τὸ δὲ κερκίδος ἐκ Μελεάγρου Εὐριπίδου. τὸ δὲ ἵν' ὁ φίλαυλος, ἐξ Ἠλέκτρας. φίλαυλος δὲ ὁ τοὺς αὐλοὺς καὶ τὰ μέλη ποιῶν. αἰνίττεται δ' ἴσως εἰς τὸν Ἀρίονιον μῦθον. κυανεμβόλοις δὲ ταῖς ἐν τῷ μέλανι βυθῷ χωρούσαις. Οἰνάνθας.] παρὰ τὰ ἐξ Ὑψιπύλης Εὐριπίδου. οἰνάνθα φέρει τὸν ἱερὸν βότρυν. ἡ πρώτη δὲ ἔκφυσις τῆς ἀμπέλου οἰνάνθη λέγεται. καὶ τὸ περίβαλλ' ὦ τέκνον ἐξ Ὑψιπύλης.

Bisetus. Βότρυος ἕλικα παυσίπονον] τοῦτο καλῶς. Πανύασις Ἁλικαρνασσεύς,

Οἶνος μὲν γὰρ πυρὶ ἶσον ἐπιχθονίοισιν ὄνειαρ,
Ἐσθλὸν, ἀλεξίκακον, πάσης συνοπηδὸν ἀοιδῆς.
Ἐν μὲν γὰρ θαλίης ἱερὸν μέρος, ἀγλαΐης τε,
Ἐν δὲ χοροιτυπίης, ἐν δ' ἱμερτῆς φιλότητος.

καὶ Εὐριπίδης ἐν Βάκχαις,

Ὁ δ' ἦλθ' ἐπὶ τἀντίπαλον, ὁ Σεμέλης γόνος.
Βότρυος πόμ' εὗρε, κ' εἰσηνέγκατο
G Θνητοῖς ὃ παύει τοὺς ταλαιπώρους βροτοὺς
Λύπης, ὅταν πλησθῶσιν ἀμπέλου ῥοῆς.
Ὕπνου τε λήθην τῶν καθ' ἡμέραν κακῶν
Δίδωσιν, οὐδ' ἔστ' ἄλλο φάρμακον κακῶν.

Σχόλια. Ὁρᾷς τὸν πόδα τοῦτον.] ὡς καὶ τοιαῦτα ἀμοιβαῖα ἐν τοῖς μέλεσιν ἐπιτηδεύοντος Εὐριπίδου. καὶ ταῦτα δέ.